τοῖς Λευίταις, ἀπὸ τείχους τῆς πόλεως καὶ ἔξω δισχιλίους πήχεις
κύκλῳ· [5]καὶ μετρήσεις ἔξω τῆς πόλεως τὸ κλίτος τὸ πρὸς ἀνατο- 5
λὰς δισχιλίους πήχεις καὶ τὸ κλίτος τὸ πρὸς λίβα δισχιλίους πή-
χεις καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν δισχιλίους πήχεις καὶ τὸ
κλίτος τὸ πρὸς βορρᾶν δισχιλίους πήχεις, καὶ ἡ πόλις μέσον τού-
του ἔσται ὑμῖν καὶ τὰ ὅμορα τῶν πόλεων. [6]καὶ τὰς πόλεις δώσετε 6
τοῖς Λευίταις, τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων, ἃς δώσετε φεύ-
γειν ἐκεῖ τῷ φονεύσαντι, καὶ πρὸς ταύταις τεσσαράκοντα καὶ δύο
πόλεις· [7]πάσας τὰς πόλεις δώσετε τοῖς Λευίταις, τεσσαράκοντα 7
καὶ ὀκτὼ πόλεις, ταύτας καὶ τὰ προάστεια αὐτῶν. [8]καὶ τὰς πόλεις, 8
ἃς δώσετε ἀπὸ τῆς κατασχέσεως υἱῶν Ισραηλ, ἀπὸ τῶν τὰ πολλὰ
πολλὰ καὶ ἀπὸ τῶν ἐλαττόνων ἐλάττω· ἕκαστος κατὰ τὴν κληρονο-
μίαν αὐτοῦ, ἣν κληρονομήσουσιν, δώσουσιν ἀπὸ τῶν πόλεων τοῖς
Λευίταις.

[9]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [10]Λάλησον τοῖς υἱοῖς 9 10
Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς διαβαίνετε τὸν Ιορδάνην εἰς
γῆν Χαναάν [11]καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς πόλεις· φυγαδευτήρια 11
ἔσται ὑμῖν φυγεῖν ἐκεῖ τὸν φονευτήν, πᾶς ὁ πατάξας ψυχὴν ἀκου-
σίως. [12]καὶ ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια ἀπὸ ἀγχιστεύ- 12
οντος τὸ αἷμα, καὶ οὐ μὴ ἀποθάνῃ ὁ φονεύων, ἕως ἂν στῇ ἔναντι
τῆς συναγωγῆς εἰς κρίσιν. [13]καὶ αἱ πόλεις, ἃς δώσετε, τὰς ἓξ πό- 13
λεις, φυγαδευτήρια ἔσονται ὑμῖν· [14]τὰς τρεῖς πόλεις δώσετε ἐν τῷ 14
πέραν τοῦ Ιορδάνου καὶ τὰς τρεῖς πόλεις δώσετε ἐν γῇ Χανααν·
[15]φυγάδιον ἔσται τοῖς υἱοῖς Ισραηλ, καὶ τῷ προσηλύτῳ καὶ τῷ 15
παροίκῳ τῷ ἐν ὑμῖν ἔσονται αἱ πόλεις αὗται εἰς φυγαδευτήριον
φυγεῖν ἐκεῖ παντὶ πατάξαντι ψυχὴν ἀκουσίως. — [16]ἐὰν δὲ ἐν 16
σκεύει σιδήρου πατάξῃ αὐτόν, καὶ τελευτήσῃ, φονευτής ἐστιν· θα-
νάτῳ θανατούσθω ὁ φονευτής. [17]ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρός, ἐν ᾧ 17
ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ, φονευτής ἐστιν·
θανάτῳ θανατούσθω ὁ φονευτής. [18]ἐὰν δὲ ἐν σκεύει ξυλίνῳ ἐκ 18
χειρός, ἐξ οὗ ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ,
φονευτής ἐστιν· θανάτῳ θανατούσθω ὁ φονευτής. [19]ὁ ἀγχιστεύων 19
τὸ αἷμα, οὗτος ἀποκτενεῖ τὸν φονεύσαντα· ὅταν συναντήσῃ αὐτῷ,
οὗτος ἀποκτενεῖ αὐτόν. [20]ἐὰν δὲ δι' ἔχθραν ὤσῃ αὐτὸν καὶ ἐπιρ- 20
ρίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος ἐξ ἐνέδρου, καὶ ἀποθάνῃ, [21]ἢ διὰ μῆνιν 21
ἐπάταξεν αὐτὸν τῇ χειρί, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω ὁ πατά-

6 δωσετε 1°] pr. ας A (in *O* sub ※) | φυγειν B^c || 7 δωσετε] pr. ας A | τεσσαρακ.] pr. και B*† || 8 υιων] pr. των A | κληρονομησουσιν] pr. κατα A || 11 φευγειν A: item in 15 | ο > A || 14 τας 1° > B*† | εν τω > B† | γη] pr. τη B† || 15 και 2° > B*† (B^c† add. και per errorem post τω 2°) || 18 εν αυτω > A* | θανατουσθω] αποθανειτε(pro -ται) A || 20 επιριψει B* | παν σκευος > B^c